# TEZAUR LITURGIC

**3 MAI**

**IOANICHIE KONIDARIS**

# SLUJBA SF.MUCENICI TIMOTEI ŞI MAVRA DE LA THEBAIDA EGIPTULUI

**ATENA,2015**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 03 ΜΑΪΟΥ

# ΜΝΗΜΗ ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΤΙΜΟΘΕΟΥ ΚΑΙ ΜΑΥΡΑΣ

# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Αρχιμ. Ιωαννικίου Κονιδάρη

### ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, στιχολογούμεν το μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στιχηρά προσόμοια· της τυχούσης εορτής δ’,και των Αγίων δ’ .

Ήχος πλ. Δ’ . Ω του παραδόξου θαύματος.

Ω του παραδόξου θαύματος, οι στρατιώται Χριστού, ανδρικώς υπομείναντες, ως στερροί αδάμαντες, αικισμούς τε και μάστιγας, και τας σταυρώσεις, Χριστού μιμούμενοι, το σεπτόν Πάθος εξεικονίζοντες, πάσαν κατέβαλον, την τυράννου δύναμιν και μηχανήν, θείω πυρπολούμενοι, πόθω οι Μάρτυρες.

Δεύτε γηγενείς εν άσμασι, τους στρατιώτας Χριστού, ευσεβώς μεγαλύνωμεν, και προς τούτους είπωμεν· Χαίροις η ξυνωρίς ημίν, η την Τριάδα λαμπρώς κηρύξασα, και καθελούσα δαιμόνων φρύαγμα, όθεν εστέφθητε, ουρανίοις στέμμασι θείας τρυφής, συναπολαμβάνοντες, Χριστού βραβεύσαντος.

Κάλλει, ψυχής τε και σώματος, κεκοσμημένη φαιδρώς, τω Χριστώ προσενήνεξαι, τον της δόξης στέφανον, παρ' Αυτού αναδήσασθαι, περιθεμένη και υπερκόσμιον, Χριστού νυμφώνα κατασκηνώσασα, Μαύρα πανεύφημε, συγχορεύεις τάξεσιν αγγελικαίς, όντως ακατάλυτον χορείαν ένδοξε.

Μάρτυς, Χριστού γενναιότατε, τας ορθοδόξων ψυχάς, αναψύξας Τιμόθεε, ως δρόσω τω Πνεύματι, θείων βίβλων την έννοιαν, διερμηνεύσας, λαοίς πιστεύουσι, και αναπείσας, πάντας προς άθλησιν, όντως απείληφας, το βραβείον ένδοξε ως αθλητής, βίον τον ουράνιον, και δόξαν άληκτον.

Δόξα. Ήχος πλ. Β .

Δεύτε άπαντες πιστοί, ευλαβώς τους ύμνους προσοίσωμεν, τη ευσήμω μνήμη των Μαρτύρων. Ούτοι γαρ νέμουσι ιαμάτων τας χάριτας, τοις μετά πόθου και πιστώς προσερχομένοις: όθεν κατά χρέος προς αυτούς εκβοήσωμεν λέγοντες· Χαίρετε δυάς του Χριστού και καλοί εργάται του Αυτού αμπελώνος· χαίρετε μιμηταί του σωτηρίου Πάθους, τω Σταυρώ κρεμασθέντες, τον εχθρόν τροπωσάμενοι· χαίρετε Τιμόθεε και Μαύρα, ο μεν έτοιμος παθείν δια Χριστόν. Η δε αμαυρώσασα τον άρχοντα του σκότους. Όθεν εν ουρανοίς υψιπέται γεγόνατε, ένθα ήχος εορταζόντων.

Και νυν. Της εορτής.

Είσοδος. Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Προφητείας Ησαΐου το Ανάγνωσμα. (μγ΄ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τα έθνη συνήχθησαν άμα, και συναχθήσονται άρχοντες εξ αυτών. Τις αναγγελεί ταύτα εν αυτοίς; ή τα εξ αρχής, τις ακουστά ποιήσει υμίν; Αγαγέτωσαν τους μάρτυρας αυτών και δικαιωθήτωσαν, και ειπάτωσαν αληθή. Γίνεσθέ μοι μάρτυρες, και εγώ μάρτυς Κύριος ο Θεός, και ο παις, ον εξελεξάμην· ίνα γνώτε, και πιστεύσητε, και συνήτε, ότι εγώ ειμι. Έμπροσθέν μου ουκ εγένετο άλλος Θεός, και μετ ἐμὲ ουκ έσται. Εγώ ειμι ο Θεός, και ουκ έστι πάρεξ εμού ο σώζων. Εγώ ανήγγειλα και έσωσα, ωνείδισα, και ουκ ην εν υμίν αλλότριος. Υμείς εμοί μάρτυρες, και εγώ Κύριος ο Θεός· ότι απ ἀρχῆς εγώ ειμι, και ουκ έστιν ο εκ των χειρών μου εξαιρούμενος. Ποιήσω, και τις αποστρέψει αυτό; Ούτω λέγει Κύριος ο Θεός, ο λυτρούμενος ημάς, ο Άγιος Ισραήλ.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ’ ημών πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη

διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (ε΄15-23,στ΄1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου· ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν τον ζήλον αυτού και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα δικαιοσύνην και περιθήσεται κόρυθα κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν. Συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας· πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου, των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ  αὐτῶν ύδωρ θαλάσσης· ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως, και ως λαίλαψ εκλικμήσει αυτούς, και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν, Βασιλείς, και σύνετε· μάθετε Δικασταί περάτων γης· ενωτίσασθε οι κρατούντες πλήθους, και

γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

Εις την Λιτήν, Ιδιόμελον της τυχούσης εορτής εν.

Και των Αγίων. Ήχος α΄.

Του μεγάλου βασιλέως, ως στρατιώτας πνευματικώς μεγαλύνωμεν, και την δι' αυτούς γεγενημένην πανήγυριν, ευφρόσυνον εκτελέσωμεν. Ούτοι γαρ κατά του τυράννου ανδρειωνθέντες, μιμηταί γενόμενοι του Πάθους Χριστού του Θεού, εν αυλαίς οικούσιν Αυτού, συν ταις άνω δυνάμεσι, και πρεσβεύουσιν υπέρ των ψυχών ημών.

Ήχος πλ. Β' .

Σήμερον επέλαμψεν η πανσεβάσμιος μνήμη των ενδόξων Μαρτύρων, και πιστοί εισέρχονται προς αυτούς μετά πόθου, και λαμβάνουσιν ιάματα ψυχών τε και σωμάτων, και πάσης μαλακίας, όθεν προς αυτούς εκβοήσωμεν λέγοντες· Δούλοι Χριστού, φωστήρες απλανείς, τω ευεργέτη Θεώ, ικετεύσατε υπέρ των ψυχών ημών.

Δόξα. Ήχος β' .

Δεύτε πιστοί, των Αθλητών το καύχημα, Τιμόθεον και Μαύραν ύμνοις και ωδαίς ευφημήσωμεν. Ούτοι γαρ δια του μαρτυρίου τω Θεώ το πνεύμα παρέδωκαν, και παρ' Αυτού τους στεφάνους εκληρώσαντο. Και χαράν εις ουρανούς άληκτον, τρανώς ορώντες την δόξαν Αυτού, και νυν δυσωπούσιν εκ κινδύνων ρυσθήναι τας ψυχάς ημών.

Και νυν. Της εορτής.

Εις τον στίχον, προσόμοια. Ήχος α' . Των ουρανίων ταγμάτων.

Τους μαργαρίτας τους θείους και ξυνωρίδα Χριστού, τους κήρυκας της δόξης, ουρανών βασιλείας, εν ύμνοις μεγαλύνωμεν τας ωδάς, προς αυτούς εκβοήσαντες· Χαίρετε Μάρτυρες θείοι παρά Θεού, τους στεφάνους κομισάμενοι.

Στ.: Θαυμαστός ο Θεός εν τοις Αγίοις Αυτού.

Των ουρανίων τα κάλλη περιπολεύετε, τω επί θρόνου δόξης βασιλεύοντι τούτων, παρίστασθε βοώντες αγγελικώς, το τρισάγιον άσμα αυτώ. Μεγαλομάρτυρες θείοι υπέρ ημών, τω Θεώ αεί πρεσβεύσατε

Στ.: Τοις Αγίοις τοις εν τη γη Αυτού, εθαυμάστωσε ο Κύριος.

Τας των τυράννων επάρσεις, και των δαιμόνων βολάς, ανδρείως και σωφρόνως εδιώξατε πόρρω, θυσίας των ειδώλων πάσας υμείς, εβδελύξασθε φεύγοντες, και ως λιμένες ευδίω Χριστώ τω Θεώ, προσωρμήθητε πανεύφημοι.

Δόξα. Ήχος δ' .

Επέλαμψε σήμερον ημίν, η πανσεβάσμιος πανήγυρις των ενδόξων Μαρτύρων, Τιμοθέου τε και Μαύρας. Ούτοι γαρ ανδρείως των τυράννων καταφρονήσαντες, τω αίματι της αθλήσεως, τας νευράς των δαιμόνων κατεδαφίσαντες, τους στεφάνους της νίκης παρά Θεού κομισάμενοι, εν ουρανοίς περιπολεύουσι, τας αμοιβάς του μαρτυρίου αποδεχόμενοι, παρά του δοξάζοντος τους Αυτόν δοξάσαντας. Μέμνησθε ουν Άγιοι και ημών εν τη πόλει ταύτη και

νήσω, φιλοχρίστου λαού. Και τον σεβάσμιον υμών ναόν, αδιάσειστον είναι, μέχρι τέλους ημίν δωρήσασθαι εκ κινδύνων χαλεπών.

Και νυν. Της εορτής.

Νυν Απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ’ .

Μαρτύρων σύλλογος νυν ευφραίνεται, Αγγέλων άσμασι μεγαλύνομεν, την μνήμην υμών Άγιοι, άπαντες μελωδούντες, και πιστώς εκβοώντες· Χαίροντες της Τριάδος, δυάς Μαρτύρων και κλέος, Τιμόθεε και Μαύρα, υπέρ ημών αεί πρεσβεύετε.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α’ στιχολογίαν,

κάθισμα. Ήχος α’ . Τον τάφον σου Σωτήρ.

Τιμόθεον ημείς, και αοίδιμον Μαύραν, αινέσωμεν πιστώς, και βοήσωμεν πάντες, Χριστόν ικετεύοντες, και εκ τούτου αιτούμενοι, πάσιν έλεος, και οφλημάτων την λύσιν, τοις βροτοίς ημίν, και αναξίοις ικέταις, δοθήναι αμφότερα.

Δόξα. Και νυν. Της εορτής.

Μετά την β’ στιχολογίαν, κάθισμα. Ήχος γ’ . Την ωραιότητα.

Της καρτερίας σου, Μαύρα πανένδοξε, εν τη αθλήσει σου, Μάρτυς αοίδιμε, τις μη θαυμάση των πιστών, τους πόνους και την βάσανον; Όθεν και τον στέφανον, ο Χριστός σοι δεδώρηται, όνπερ

επεπόθησας, και Αυτώ ηκολούθησας. Διο παρρησίαν έχουσα προς Αυτόν, πρέσβευε υπέρ των ψυχών ημών.

Δόξα. Και νυν. Της εορτής.

Μετά τον πολυέλεον,

κάθισμα. Ήχος πλ. Δ’ . Την σοφίαν και λόγον.

Του εχθρού διαβόλου τας προσβολάς, αποκρούσασα πάσας η ευκλεής, Μαύρα παναοίδιμε, τον Σταυρόν του Κυρίου σου, Αυτόν ως ποθήσασα, επ’ ώμων αραμένη, τη δυνάμει τούτου εχθρόν κατεπάτησας, όθεν κατ’ αξίαν, αμοιβήν των αγώνων, τον στέφανον είληφας, αθληθόρε πανεύφημε, πρέσβευε Χριστώ τω Θεώ, τω πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Δόξα. Και νυν. Της εορτής.

Οι αναβαθμοί. Το α’ προκείμενον του δ’ ἤχου.

Προκείμενον: Δίκαιος ως φοίνιξ ανθήσει, και ωσεί κέδρος...

Στ.: Πεφυτευμένοι εν τω οίκω Κυρίου...

Ευαγγέλιον, Λουκά:Είπεν ο Κύριος τοις εαυτού μαθηταίς·

Προσέχετε από των ανθρώπων... (Ζήτει Απριλίου κγ ).

Ο Ν ψαλμός.

Δόξα: Ταις των Αθλοφόρων...

Και νυν: Ταις της Θεοτόκου...

Στ.: Ελεήμον, ελέησόν με ο Θεός... Ήχος α .

Τον ουράνιον Νυμφίον επεπόθησας Μαύρα παναοίδιμε, δια Σταυρού την μακαρίαν σου ψυχήν τω Χριστώ παρέδωκας, συ ταις

άνω συναυλίζη χορείαις. Και νυν μη παύση πρεσβεύουσα υπέρ των πίστει τελούντων την πανέορτον μνήμη σου.

Οι Κανόνες της Εορτής, και των Αγίων, ου η Ακροστιχίς: Τιμοθέου Μαύρας τε τους πόνους σέβω. Ποίημα Ιωσηφ.

Ωδή α' Ήχος πλ. β'. Ως εν ηπείρω πεζεύσας.

Των ιερών αθλοφόρων την ιεράν, και σεπτήν πανήγυριν, ο λαός ο ιερός, ιερώς τιμήσωμεν αυτών, ταις δεήσεσι δεινών όπως ρυσθείημεν.

Ιερονίκους στεφάνους παρά Χριστού, ειληφέναι σπεύδοντες, το θανείν υπέρ το ζην, οι γενναίοι Μαρτυρες σαφώς, ηρετίσαντο· διο δόξης επέτυχον.

Μη δειλιάσαντες πόνους τους της σαρκός, μη κολάσεις πτήξαντες, μη το πυρ των διωκτών, αθλοφόροι Μαρτυρες Χριστόν, εν σταδίω ανδρικώς ανεκηρύξατε.

Θεοτοκίον

Ο υπερούσιος Λογος ουσιωθείς, εξ αγνών αιμάτων σου, εθεούργησεν ημάς, και φθοράς ερρύσατο Αγνή· δια τούτό σε πιστώς αεί δοξάζομεν.

Ωδή γ'. Ουκ έστιν Άγιος ως συ.

Θεού τας βίβλους τω λαώ, ιερώς υπανοίγων, και φωτίζων καρδίας, στρατιώτα του Χριστού, Τιμόθεε τω σεπτώ μαρτυρίω, χαίρων επιβέβηκας.

Ενθέω πόθω την ψυχήν, πυρπολούμενος Μαρτυς, τω πυρί των βασάνων, προσωμίλεις καρτερώς· διο σε η του Χριστού, θεία δρόσος, μάκαρ επανέψυχεν.

Ο νους σου νεύσει προς Θεόν, λαμπρυνόμενος Μαρτυς, ουκ ησθάνετο όλως, των σιδήρων τας δεινάς, προσψαύσεις δια πυρός, γινομένας, ένδοξε Τιμόθεε.

Θεοτοκίον

Υπάρχων φύσει απαθής, ο Υιός σου Παρθένε, προσελάβετο σάρκα, εξ αιμάτων σου αγνών, και δια πάθους Σταυρού, των παθών με, άχραντε ερρύσατο.

Κάθισμα Ήχος α'. Τον τάφον σου Σωτήρ.

Τιμήσαντες Θεόν, απημαύρωσαν πλάνην, Τιμόθεος σαφώς, και η ένδοξος Μαύρα, και πάσαν υπομείναντες, οι πανένδοξοι βάσανον, ελαμπρύνθησαν, υπέρ ακτίνας ηλίου,και γεγόνασι, συλλειτουργοί των Αγγέλων, ους πίστει δοξάσωμεν.

Δόξα. Και νυν. Της Εορτής

Ωδή δ'. Χριστός μου δύναμις.

Μεγίστην εύκλειαν, επιποθήσαντες, ηξιώθητε ταύτης, τέκνα φωτός, θείου χρηματίσαντες, Μεγαλομάρτυρες Χριστού, των Αγγέλων ισοστάσιοι.

Αγίων τάγμασι, συναριθμούμενος, και ευήκοα ώτα προς θεϊκούς, νόμους έχων ένδοξε, τας διατρήσεις σταθερώς, εκαρτέρησας Τιμόθεε.

Υψούντες ξύλω σε, οι ματαιόφρονες, προσβαρύνουσι λίθω την κεφαλήν, ένδοξε Τιμόθεε· αλλ' εδυνάμου σε Χριστός, θείω πάθει σεμνυνόμενον.
Ρεόντων άστατον, φοράν Μακάριοι, εβδελύξασθε όντως, και εαυτούς, πόνοις εξεδώκατε, τα δι' αιώνος αγαθά, δια τούτων κληρωσάμενοι.

Θεοτοκίον

Αγνείας σκήνωμα, κατοικητήριον, του Δεσπότου των όλων, και Προφητών, πάντων περιήχημα, θεοχαρίτωτε Ναε, τους υμνούντάς σε οικτίρησον.

Ωδή ε'. Τω θείω φέγγει σου αγαθέ.

Συζύγου Μαύρα φωτοειδείς, λόγους ηκροάσω ευμενώς, και την ζοφώδη κακόνοιαν, απορριψαμένη φως εχρημάτισας, δια του μαρτυρίου θεομακάριστε.
Τω θείω Πνεύματι σεαυτήν, Μαύρα θωρακίσασα σεμνή, προς συμπλοκήν του αλάστορος, χαίρουσα εξήλθες, και τούτον έτρεψας, και νίκης τους στεφάνους Μάρτυς απείληφας.
Ένα σε Κύριον Ιησούν, καθομολογούσα η Σεμνή, χειρί τον άνθρωπον πλάσαντα, τέμνεται δακτύλους χειρός την άδικον, ανδρείως τιμωρίαν καθυποφέρουσα.

Θεοτοκίον

Την καταιγίδα των λογισμών, τας επαναστάσεις των παθών, των πειρασμών το κλυδώνιον, κόπασον Παρθένε θεοχαρίτωτε, και σώσόν με υμνούντα τα μεγαλεία σου.

Ωδή ς’. Του βίου την θάλασσαν.

Οι άγιοι Μαρτυρες, τω ιστίω του Σταυρού, πνευματικώς πτερούμενοι, των πειρασμών το πέλαγος αβλαβώς, εν πίστει παρέδραμον, και προς θείους λιμένας ανεπαύσαντο.

Υφάψαντες λέβητα, εν αυτώ σε τον Χριστόν, ομολογούσαν ρίπτουσιν, οι δυσσεβείς, αλλ' έμεινας αβλαβής, την δρόσον του Πνεύματος, ευραμένη σε Μαύρα αναψύχουσαν.

Στρεβλούμενοι Μαρτυρες, πάσας στρέβλας του εχθρού, ανδρείως διελύσατε, και τη αγάπη τέλεον του Χριστού, ψυχάς συνεδήσατε, της σαρκός αποθέσει παναοίδμοι.

Θεοτοκίον

Πανάγαθε Δεσποινα, τον πανάγαθον Θεόν, η εν σαρκί κυήσασα, κεκακωμένην πάθεσι την εμήν, καρδίαν αγάθυνον, ίνα πίστει και πόθω μεγαλύνω σε.

Κοντάκιον. Ήχος δ’ . Ο υψωθείς εν τω Σταυρώ εκουσίως.

Τους πολυτρόπους αικισμούς ενεγκόντες, και τους στεφάνους εκ Θεού ειληφότες, υπέρ ημών πρεσβεύσατε προς Κύριον, μνήμην την πανίερον, των υμών εκτελούντων,μέγιστε Τιμόθεε, και αοίδιμε Μαύρα, του ειρηνεύσαι πόλιν και λαόν, Αυτός γαρ εστι πιστών το κραταίωμα.

Έτερον. Η Παρθένος σήμερον.

Δι’ ευχής απώσατο, τους πειρασμούς διαβόλου, και Αγγέλου δέχεται, χειραγωγία η Μάρτυς. Θρόνω γαρ, επουρανίω αύτη

προσήχθη. Στέφανον στολήν, λευκήν τε απολαβούσα, ίνα χαίρη αιωνίως, μετά Μαρτύρων πάντων χορεύουσα.

Ο Οίκος.

Τιμόθεον συ Μαύρα τη συζύγω σήμερον ευφημήσωμεν. Ούτοι γαρ τας ποινάς του τυράννου γενναίως υπέμειναν εις ουδέν τον παρόντα βίον τιθέμενοι. Ο μεν τας κόρας των οφθαλμών υστερούμενος ηγάλλετο. Η δε τους δακτύλους τετμημένη και τα της κεφαλής τρίχας εκτιλλομένη, και θερμώ ύδατι εμβεβλημένη οιονεί παίζουσα τω αυτώ ύδατι τον τύραννον μη θερμόν, αλλά ψυχρόν είναι λέγοντα επερράντισεν. Αλλά και προσβολάς του διαβόλου διττάς δι’ ευχής επεκρούσατο. Διόπερ αυτήν Άγγελος Θεού εις ουρανόν ανάγων, και θρόνον, και στολήν λευκήν, και στέφανον υποδεικνύων έφη. Ότι σοι ταύτα επεκληρώθησαν. Αλλ’ ω Μάρτυρες Άγιοι, πρεσβεύσατε υπέρ ημών, μετά Δικαίων και Αγγέλων, πάντων χορεύοντες.

Συναξάριον

Τη Γ' του αυτού μηνός, Μνήμη των Αγ. Μαρτύρων Τιμοθέου και Μαύρας.

Στίχοι

Ήπλωσε Χριστός χείρας εν Σταυρώ πάλαι, ήπλωσε και νυν Μαύρα συν Τιμοθέω.

Σταυρώ Τιμόθεος τριτάτη τανύθη άμα Μαύρα.

Ωδή ζ'. Δροσοβόλον μεν.

Ουκ ησθάνου ταις λαμπάσι παναοίδιμε, φλογιζομένη πάντοθεν, πυρ εγκάρδιον, την αγάπην, φέρουσα Χριστού, και τούτω βοώσα εμμελώς· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Νυσταγμόν από βλεφάρων απωσάμενος, κακίας ω Τιμόθεε, εκαρτέρησας, οφθαλμών πηρώσεις τον Χριστόν, καρδίας τοις όμμασιν ορών, και μελωδών· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Οι τα κάτω παριδόντες θείοι Μαρτυρες, των άνω δε την οίκησιν, κληρωσάμενοι, ιεραίς τιμάσθωσαν ωδαίς, βοώντες απαύστως συν ημίν· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Θεοτοκίον

Υπερύμνητε Παρθένε, υπερύμνητον Θεόν αποκυήσασα, τους υμνούντάς σε, κοινωνούς ανάδειξον φωτός, και ρύσαι γεέννης και φλογός, και πάσης βλάβης του εχθρού ταις ικεσίαις σου.

Ωδή η'. Εκ φλογός τοις οσίοις.

Συντηρούντες τους νόμους του Παντοκράτορος, ανομούντων τω κράτει ουχ υπεκύψατε, σέβας πονηροίς, ουκ ενείματε δαίμοσι, Μαρτυρες γενναίοι, Κυρίου κληρονόμοι.

Συζυγία αρίστη σαφώς συνδούμενοι, τον ζυγόν του Κυρίου τον ελαφρότατον, ήρατε ομού, επαυχένιον Μαρτυρες, και ταις των Μαρτύρων, συνήφθητε αγέλαις.

Επί ξύλου ταθέντες σταυρού Πανεύφημοι, επί πλείστας ημέρας εξεικονίσατε, πάθος το σεπτόν, του παθόντος βουλήματι, ον υπερυψούμεν, εις πάντας τους αιώνας.

Βιαιότατον όντως θάνατον Άγιοι, παραστάσει των πόνων καθυπεμείνατε, άπονον· διο, προς ζωήν μετετέθητε, ανυμνολογούντες, Χριστόν εις τους αιώνας.

Θεοτοκίον

Ωραιώθης Παρθένε αποκυήσασα, ωραιότατον κάλλει Χριστόν τον Κυριον, θείαις τους πιστούς, αγλαΐαις φαιδρύνοντα, ον υπερυψούμεν, εις πάντας τους αιώνας.

Ωδή θ'. Θεόν ανθρώποις.

Ιδείν την δόξαν κατηξιώθητε, του εαυτόν κενώσαντος δι' οίκτον Πανεύφημοι· τους αυτού γαρ νόμους εφυλάξατε, και κοινωνοί των τούτου, παθημάτων γεγόνατε·όθεν συνελθόντες, ευσεβώς ημάς γεραίρομεν.

Ωρών ισάριθμον διηνύσατε, μέτρον Σοφοί, νυκτών και ημερών προσκαλούμενοι, του δι' οίκτον Σταυρώ ομιλήσαντος· ον καθομολογούντες πάντων δεσπόζοντα, τούτου εν χερσι, τα εαυτών πνεύματα έθεσθε.

Στρατός Αγγέλων χορός μακάριος, των Προφητών Μαρτύρων Αποστόλων Οσίων τε, τη ανόδω υμών επεκρότησε, πάντων δε ο Δεσπότης, στέφει κατέστεψε, Μαρτυρες ημάς νικητικώ ως υπεράγαθος.

Ημίν τοις πόθω υμάς γεραίρουσι, και την σεπτήν υμών επιτελούσι πανήγυριν Αθλοφόροι Χριστού γενναιότατοι, λύσιν αμαρτημάτων, βίου διόρθωσιν πάντων τε δεινών απαλλαγήν σοφοί αιτήσασθε.

Θεοτοκίον

Φωτί τω σω με Θεοχαρίτωτε, εν γυναιξί Παρθένε καταλάμπρυνον δέομαι, και πυρός αιωνίου με λύτρωσαι όπως σε μεγαλύνω, όπως δοξάζω σε, όπως κατά χρέος, ανυμνώ τα μεγαλειά σου.

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Τιμόθεον τιμήσωμεν, και Μαύραν μεγαλύνωμεν, τους στρατιώτας Κυρίου, και ημετέρους προστάτας. Αυτοί γαρ ηγωνίσθησαν, και τον Χριστόν εκήρυξαν, ενώπιον παρανόμων, ένα Θεόν εν Τριάδι, και Βασιλέα απάντων.

Και της εορτής.

Εις τους αίνους. Ήχος α’ . Πανεύφημοι Μάρτυρες.

Το ζεύγος το άγιον Χριστού, ξυνωρίς η ένθεος, το των Μαρτύρων εγκαλλώπισμα, μέγιστοι Μάρτυρες, οι την θείαν ζεύγλην, εν βασάνοις στέρξαντες, και μάστιγας τυράννων μη πτήξαντες, και νυν πρεσβεύσατε, δωρηθήναι, ταις ψυχαίς ημών, την ειρήνην και το μέγα έλεος. (Δις).

Μορφή αστραπτούση ω σεμνή, Μαύρα παμακάριστε, και τω φωτί της σης χάριτος, όψεις ημαυρώσας, του δεινού τυράννου, και σπασμοίς τριχών των σων, Θεώ αναφανδόν προσωμίλησας, εντεύθεν έφλεξας, και λεβήτων εν τοις βράσμασι, του βελίαρ την κάραν την άδικον.

Ισχύϊ Τιμόθεε ψυχής, και καρδίας όλης σου, Θεόν τιμών τον υπέρτιμον, πυρί φλεγόμενον, και τοις οβελίσκοις, είληφας φωνής Θεού, καρδίας εν ωσί την τερπνότητα. Και εν κρεμάσματι, αντιστρόφω προς ουράνιον, δρόον τρέχων το στέφος εισδέδεξαι.

Δόξα. Ήχος πλ. Β' .

Σήμερον συγκαλείται ημάς των Αθλοφόρων η πανσεβάσμιος πανήγυρις. Δεύτε ουν εν ύμνοις και ωδαίς εορτάσωμεν την μνήμην αυτών λέγοντες· Χαίρετε στύλοι αρραγείς,
και της Τριάδος υπέρμαχοι, υπέρ ης τα πάντα κατεφρονήσατε, τας βασάνους φέροντες γενναίως, αδιάσειστοι το νοείν διαμείναντες, χαίρετε προστάται υμίν και θεμέλιοι της πίστεως Χριστού οι τον εχθρόν τροπωσάμενοι τη ισχύϊ τη δοθείση υμίν παρά Θεού, χαίρετε οι τω Σταυρώ τανυθέντες το σωτήριον Πάθος μιμούμενοι και δια Χριστόν ταις ερυθραίς βαφαίς των υμετέρων αιμάτων εαυτούς εκκαθάραντες. Διο και νυν Αθλοφόροι μακάριοι μη παύσησθε πρεσβεύοντες υπέρ του σωθήναι τας ψυχάς ημών.

Και νυν. Της εορτής.

Δοξολογία μεγάλη και Απόλυσις.

**Εις την Λειτουργίαν**

Τα τυπικά, και εκ των κανόνων· της εορτής ωδή γ' , και των Αγίων ωδή στ' .Απόστολος:Αδελφοί,ενδυναμούσθε εν Κυρίω…( Ζήτει Σεπτεμβρίω κ')

Ευαγγέλιον, Λουκά: Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· ουδέν συγκεκαλυμμένον εστίν… (Ζήτει τη Παρασκευή της ζ' ἐβδομάδος).

Μεγαλυνάριον.

Ζεύγος αγιόλεκτον του Χριστού, ξυνωρίς αγία, η κηρύξασα τον Χριστόν, Τιμόθεε Μάρτυς, άμα τη λαμπρά Μαύρα, συγχώρησιν πταισμάτων ημίν αιτήσασθε.

